*χαίρουσι κἂν ὕπαυγοι εἶεν· οἱ μὲν ἀγαθοὶ ἐπαύξουσι τὰ ἀγαθά, οἱ δὲ*
*φθοροποιοὶ μεταβάλλονται εἰς ἀγαθοποιίαν. ὅτι οἱ ἀστέρες ἐναντιώ-* 4
*μενοι τοῖς ἰδίοις οἴκοις κακύνονται. ὅτι ἐν ταῖς τῶν χρόνων διαιρέσεσι* 5
*ἡνίκα ποιοῦμεν τοὺς τῶν ἀστέρων περιπάτους δεῖ γινώσκειν ὅτι αἱ*
*κολλήσεις τῶν πλανωμένων καὶ τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήμα-*
*τος καὶ τοῦ κλήρου τῆς τύχης αἱ πρὸς τοὺς ἀπλανεῖς μεγίστην ἰσχὺν*
*καὶ ἐνέργειαν ἔχουσι κατὰ τὰς κράσεις αὐτῶν, καὶ μάλιστα εἰ καὶ τὸν*
*αὐτὸν ἄνεμον ἔχοιεν. ὅτι πρὸ πάντων δεῖ ζητεῖν τὸν ἐνιαυτοκράτορα* 6
*καὶ τὴν κρᾶσιν αὐτοῦ καὶ τὴν θέσιν καὶ φάσιν, καὶ τοὺς ὁρῶντας αὐτὸν*
*κατά τε πῆξιν καὶ πάροδον, καὶ πῶς ἔκειτο ἐπὶ τῆς γενέσεως, καὶ πῶς*
*εὑρέθη ἐπὶ τῆς παρόδου. ὅτι οἱ συνοδικοὶ ἀστέρες δυναμοῦνται διὰ τὴν* 7
*μετουσίαν τοῦ ἡλιακοῦ φωτός, τὰς δὲ ἐνεργείας ἐν τοῖς ὕστερον χρόνοις*
*ἀποδιδόασιν. εἰ δὲ καὶ εἴη ὑπὸ ἀγαθοποιῶν καλῶς ἐσχηματισμένος* 8
*ἀποφαίνου τὸν ἐνιαυτὸν κάλλιστον εἶναι, εἰ δὲ εὑρέθη ἢ ἐν τοῖς ἐναν-*
*τίοις τῶν προειρημένων ἐναντίον δηλονότι ὑπονοητέον, εἰ δὲ καὶ ἐν*
*ἀλλοτρίῳ οἴκῳ τύχῃ χαλεπώτερος ἔσται, καὶ εἰ μὲν εἶεν οἱ κακοποιοὶ*
*οὕτως ἔχοντες ἐν ἀλλοτρίῳ ἔτι χαλεπώτερος (ἢ γὰρ νόσους ἢ κρίσεις ἢ*
*ξενιτείας ποιοῦσιν), εἰ δὲ ἀγαθοποιοὶ κουφότερος καὶ μετριώτερος*
*(καὶ μετεωρισμοὺς ποιοῦσιν· ἐπὶ μὲν Διὸς δαπάνας ἑκουσίᾳ γνώμῃ,*
*ἐπὶ δὲ Ἀφροδίτης γυναικείους τινὰς μώμους ἐπιφέρει, ἐπὶ δὲ Ἑρμοῦ*
*ζημίας καὶ ἀξυνθήκας). καλῶς οὖν κείμενοι καὶ οἱ κακοποιοὶ ἐν τῇ* 9
*ἀντιγενέσει καλὰ ποιοῦσιν, ὁ μὲν Ἄρης πράξεις μετὰ θερμότητος, ὁ δὲ*
*Κρόνος ὁμοίως ἐνεργῶς περὶ γεωπονίας ἢ οἰκοδομίας. οἱ δὲ ἀγαθοποιοὶ* 10
*βελτίονα παρέχουσιν, ὁ μὲν Ζεὺς σύστασιν καὶ εὐγαμίαν καὶ φιλίαν*
*καὶ εὔκλειαν, ἔσθ᾽ ὅτε καὶ τέκνωσιν, ἡ δὲ Ἀφροδίτη ὁμοίως τὰ αὐτὰ*
*καὶ χάριν παρὰ θηλείας, ὁ δὲ Ἑρμῆς ἐκ λόγων κέρδη.*

*ἢν δὲ μόλῃ λυκάβαντος ἀφ᾽ ὡρονόμοιο δοθέντος* 11
⟨...⟩.

Vide etiam Heph. Ep.⁴ 34, 1–4.

IV 1, 1–7. Anonymi capitulum a F. Cumont in CCAG 8, 1; 242 (fr. 56b Stegemann) editum

*Εἶτα λοιπὸν ζήτει τὸν ἐνιαυτοκράτορα καὶ ὡροσκόπον τοῦ ἐνιαυτοῦ, καθὼς λέγει Δωρόθεος, πῶς κεῖται φάσει καὶ θέσει καὶ ὑπὸ τίνων θεωρεῖται καὶ πῶς ἔκειτο ἐπὶ τῆς γενέσεως.*